# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## ΨΑΛΛΟΜΕΝΟΣ ΕΙΣ ΑΠΕΙΛΗΝ ΛΟΙΜΙΚΗΣ ΑΣΘΕΝΕΙΑΣ
### Ποίημα Κυρίλλου Μητροπολίτου Ρόδου




ΡΟΔΟΣ 2020

Ἡ ἐπεξεργασία, διόρθωση, συμπλήρωση καί μορφοποίηση τῆς παρούσας Ἀκολουθίας, καθώς καί τῆς ἀντίστοιχης Εὐχῆς, ἔγινε ἀπό τόν παπα-Θανάση Κατζιγκᾶ, τακτικό Ἐφημέριο τοῦ Ἱεροῦ Ναοῦ Ἁγίας Φωτεινῆς Σμύρνης.

Σμύρνη, Μάιος 2020, περίοδος πανδημίας Κορονaϊοῦ.

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΨΑΛΛΟΜΕΝΟΣ ΕΙΣ ΑΠΕΙΛΗΝ ΛΟΙΜΙΚΗΣ ΑΣΘΕΝΕΙΑΣ

***Ποίημα Κυρίλλου Μητροπολίτου Ῥόδου***

Ὁ Ἱερεύς.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης· Ἀμήν.

## Ψαλμὸς ρμβ΄ (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου ἡ ψυχή μου· ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας, τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Ὁ χορός·

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. **Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.**

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. β΄. **Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.**

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. γ΄. **Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.**

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

## Καὶ τὰ κάτωθι Τροπάρια.

### Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ ἰατρὸς τῶν χαλεπῶς ἀσθενούντων, καὶ ἀντιλήπτωρ τῶν εἰς σὲ ἐλπιζόντων, ὁ πάντας θέλων Κύριε, σωθῆναι τοὺς βροτούς, ἐφ᾽ ἡμᾶς ἐπίβλεψον, ἀπὸ θρόνου σου δόξης, καὶ κραυγῆς ἐπάκουσον, ἐκ βαθέων βοώσης· Ἐκ τοῦ λοιμοῦ ἀπάλλαξον ἡμᾶς, τῆς ἀπειλῆς ὡς Θεὸς πολυεύσπλαγχνος.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Ἀλλὰ καὶ νῦν προνοίᾳ σου ἡμᾶς, τοῦ ἐπελθόντος λοιμοῦ διαφύλαξον.

Ὁ Ἀναγνώστης·

## Ψαλμὸς Ν΄ (50)

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεός, τῆς σωτηρίας μου ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Καὶ ὁ ἱκετήριος Κανών,

οὗ ἡ Ἀκροστιχὶς ἐν τῷ δ΄ Τροπαρίῳ ἑκάστης Ὠιδῆς· **«Κυρίλλου».**

**Ὠιδὴ α΄.** Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Τριὰς Παναγία ὁ Εἷς Θεός, τὴν σὴν εὐσπλαγχνίαν, ἡμῖν δεῖξον τοῖς ταπεινοῖς, καὶ παῦσον λοιμοῦ θανατηφόρου, τὴν ἐπελθοῦσαν πολύπονον μάστιγα.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Λοιμοῦ ἐνεστῶτος ἐπιδρομή, συνέχει Οἰκτίρμων, τὰς καρδίας πάντων ἡμῶν· πρόφθασον καὶ σῶσον τὸν λαόν σου, τὸν εἰς σὲ μόνον ἐλπίζοντα, Κύριε.

**Δόξα.**

Εὐχαῖς Ἀποστόλων καὶ Προφητῶν, Μαρτύρων, Ὁσίων, θεοφόρων Ἱεραρχῶν, ἵλαθι Οἰκτίρμων τοῦ λαοῦ σου, καὶ ἐκ λοιμοῦ τοῦ κινδύνου διάσωσον.

**Καὶ νῦν.** Θεοτοκίον.

Κυρία Παρθένε Μῆτερ Θεοῦ, τῶν ἀπεγνωσμένων, γλυκυτάτη καταφυγή, ἡμᾶς ἐν λοιμοῦ τοῦ ἐνεστῶτος, τῇ περιστάσει χορήγει παράκλησιν.

**Ὠιδὴ γ΄.** Οὐρανίας ἁψῖδος.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Στεναγμοὺς τῆς καρδίας, σῶν οἰκετῶν ἄκουσον, σπλάγχνοις ἐν πολλῶν οἰκτριρμῶν σου, Εὔσπλαγχνε Κύριε, καὶ ἀποσόβησον, τῆς λοιμικῆς ἀρρωστίας, τάχιστα τόν κίνδυνον, ἀπὸ τῶν τέκνων σου.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Ὢ Τριὰς Παναγία! ὢ Ἀγαθὲ Κύριε! σὲ γονυπετοῦντες ἐν πίστει, καθικετεύομεν· Δεῦρο ἐλέησον, τὰ πλάσματά σου Οἰκτῖρμον, καὶ λοιμοῦ ἀπάλλαξον, λύμης καὶ θλίψεως.

**Δόξα.**

Τὴν ταπείνωσιν ἴδε, σῶν οἰκετῶν Δέσποτα· ἄφες τὰς πολλὰς ἁμαρτίας, ἡμῶν δεόμεθα, καὶ ῥῦσαι Δέσποτα, ἐκ τῆς παρούσης ἀνάγκης, γένος τὸ ἀνθρώπινον, ὡς πολυεύσπλαγχνος.

**Καὶ νῦν.** Θεοτοκίον.

Ὑπερύμνητε Κόρη, ἡ τὸν Θεὸν τέξασα, τὸν τὰς ἀσθενείας καὶ νόσους, βροτῶν βαστάσαντα, ἀτρώτους φύλαττε, ἐκ λοιμοφόρου ἀνάγκης, τοὺς πιστοὺς ἱκέτας σου, τῇ προμηθείᾳ σου.

Διάσωσον Τριὰς Ἁγία, ὁ Κύριος τοῦ ἐλέους, ἀπὸ λοιμοῦ τῆς ἀνάγκης καὶ θλίψεως, οὓς φιλανθρώπως σωθῆναι θέλεις ἀνθρώπους.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

## ΔΕΗΣΙΣ ΥΠΟ ΤΟΥ ΙΕΡΕΩΣ

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν, (…..) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, καὶ πάντων τῶν ἐν ἀσθενείαις, λοιμοῖς καὶ θλίψεσιν εὑρισκομένων ἀδελφῶν ἡμῶν.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον. (γ΄)

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

## Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Ἁγία Τριάς, ὁ Εἷς Θεὸς καὶ Κύριος, τῆς βροτολοιγοῦς, ἐπιδραμούσης θλίψεως, τὸν λαόν σου λύτρωσαι, τὴν ὑγιείαν πᾶσι δωρούμενος· τοῦ σοῦ ἐλέους πλήρης γὰρ ἡ γῆ, καὶ σοὶ προσκυνοῦμεν Παντοδύναμε.

## **Ὠιδὴ δ΄.** Εἰσακήκοα Κύριε.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Ἀνεξάντλητον πέλαγος, οἰκτιρμῶν ὑπάρχων Εὔσπλαγχνε Κύριε, μὴ ἐάσῃς ἀπολλύμενον, λοιμικῆς ἐκ νόσου τὸ ἀνθρώπινον.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Σοὶ δακρύοντες λέγομεν· ἐπὶ τὸν λαόν σου Σῶτερ σπλαγχνίσθητι, καὶ τῆς νόσου τὴν κατήφειαν, εἰς χαρὰν τελείαν μεταποίησον.

**Δόξα..**

Φιλανθρώπως οἰκτείρησον· τῆς φωνῆς ἐπάκουσον ἡμῶν Δέσποτα, καὶ διάσωσον ὡς εὔσπλαγχνος, ἀπὸ τῆς εὑρούσης ἡμᾶς θλίψεως.

**Καὶ νῦν.** Θεοτοκίον.

Ῥῶσιν δίδου καὶ δύναμιν, ἐν τῇ ἐνεστώσῃ ἀνάγκῃ ἅπασι, τοῖς προστρέχουσι τῇ σκέπῃ σου, Θεοτόκε Κόρη Ἀειπάρθενε.

## **Ὠιδὴ ε΄.** Φώτισον ἡμᾶς.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Ἄλλον σοῦ Θεόν, οὐ γινώσκομεν καὶ Κύριον· σοῦ δεόμεθα ἀφάνισον ταχύ, ἀσθενείας τὴν φορὰν ὡς Πολυέλεος.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Σκέπασον ἡμᾶς, ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, Παντοδύναμε καὶ πλήθει οἰκτιρμῶν, ἐν ὑγιείᾳ τὴν ζωὴν ἡμῶν συντήρησον.

**Δόξα.**

Δίκαιος εἶ σύ, καὶ δικαίᾳ εἶ ἡ κρίσις σου· ἀλλὰ πρόφθασον Φιλάνθρωπε ἡμᾶς, τῆς φονίου ἀσθενείας ἐξαιρούμενος.

**Καὶ νῦν.** Θεοτοκίον.

Ἴδε συμπαθῶς, ἐφ᾽ ἡμᾶς Παρθένε Ἄχραντε, καὶ λοιμοῦ τῆς ἐπελθούσης ἀπειλῆς, ἀνωτέραν τὴν ζωὴν ἡμῶν συντήρησον.

**Ὠιδὴ στ΄.** Τὴν δέησιν ἐκχεῶ.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Ἀσθένειαν τὴν ἡμῶν Φιλάνθρωπε, ὁ φορέσας δι᾽ ἀφάτου ἀγάπης, τῆς συνεχούσης ἡμᾶς ἀνυποίστως, ἐκ τοῦ λοιμοῦ χαλεποῦς ἀπογνώσεως, ἀπάλλαξον ὡς ἀγαθός, παρορῶν τὰ ἡμῶν ἁμαρτήματα.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Θαυμάσια ὁ ποιῶν καὶ τέρατα, ἀριθμὸς ὧν οὐχ ὑπάρχει Οἰκτίρμων, τῆς ἐπελθούσης δεινῆς ἀσθενείας, τὴν τρικυμίαν ἐν τάχει κατάπαυσον, καὶ εἰς λιμένα γαληνόν, τῆς ὑγιείας ἡμᾶς ἐγκαθόρμισον.

**Δόξα.**

Βαλλόμενοι ἀπειλῇ Φιλάνθρωπε, τοῦ θανάτου ἐκ λοιμοῦ πανωλέθρου, σοὶ καταφεύγομεν αἴροντες χεῖρας, ἱκετηρίους καὶ κλαίοντες κράζομεν· ἀπολλυμένους νῦν ἡμᾶς, Ἐπιστάτα Οἰκτῖρμον βοήθησον.

**Καὶ νῦν.** Θεοτοκίον.

Λαῷ σου, τῷ εὐσεβῶς δοξάζοντι, τὸν ἐκ σοῦ ἀνερμηνεύτως τεχθέντα, τῇ μητρικῇ σου στοργῇ καὶ ἀγάπῃ, Θεοκυῆτορ ἀπέργασαι ἵλεων, ἵνα λυτρώσηται αὐτός, ἐκ λοιμοῦ τοὺς δι᾽ οὓς ἐνηνθρώπησεν.

Διάσωσον Τριὰς Ἁγία, ὁ Κύριος τοῦ ἐλέους, ἀπὸ λοιμοῦ τῆς ἀνάγκης καὶ θλίψεως, οὓς φιλανθρώπως σωθῆναι θέλεις ἀνθρώπους.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

## ΔΕΗΣΙΣ ΥΠΟ ΤΟΥ ΙΕΡΕΩΣ

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον. (γ´)

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον. (γ´)

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν, (….) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον. (γ´)

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, καὶ πάντων τῶν ἐν ἀσθενείαις, λοιμοῖς καὶ θλίψεσιν εὑρισκομένων ἀδελφῶν ἡμῶν.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον. (γ´)

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

### Κάθισμα. Ἦχος β´. Τοῖς τῶν αἱμάτων σου.

Φιλανθρωπίας σου δεῖξον τὴν ἄβυσσον, ἐπὶ πολὺ Παντοδύναμε Κύριε· ἐλέησον, σῶσον, οἰκτείρησον, καὶ τοῦ λοιμοῦ τὸν λαόν σου ἀπάλλαξον, ἱκέσιον ὕμνον σοι ᾄδοντα.

### Προκείμενον. Ἦχος δ´.

Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Στίχ. **Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.**

## ΕΥΑΓΓΕΛΙΟΝ

Ὁ Ἱερεύς.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ χορός· Κύριε, ἐλέησον. (γ´)

Ὁ Ἱερεύς.

Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς.

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου
τὸ ἀνάγνωσμα. Πρόσχωμεν.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

(Κεφ. η´ 1-4)

Τῷ καιρῷ ἐκείνῳ, καταβάντι τῷ Ἰησοῦ ἀπὸ τοῦ ὄρους ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί. Καὶ ἰδοὺ λεπρὸς ἐλθὼν προσεκύνει αὐτῷ λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. Καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ ὁ Ἰησοῦς, λέγων· Θέλω καθαρίσθητι, καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· ὅρα μηδενὶ εἴπῃς, ἀλλὰ ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ καὶ προσήνεγκε τὸ δῶρον ὃ προσέταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι

**Δόξα.**

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. **Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.**

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Δέσποτα Φιλάνθρωπε, ὁ πάντας θέλων σωθῆναι, ὁ μὴ θέλων θάνατον, καὶ ζωῆς τὸ πλήρωμα χαριζόμενος, σὲ παροργίζομεν, ἀλλὰ σὲ καὶ μόνον, οἱ ταλαίπωροι λατρεύομεν· εἰς σὲ ἐλπίζομεν, πλήν σου προστασίαν οὐκ ἔχομεν· διό σοι καταφεύγομεν, καὶ ἐν μετανοίᾳ κραυγάζομεν·Τοῖς ἐν ἁμαρτίαις, ἱλάσθητι Φιλάνθρωπε ἡμῖν, καὶ ἀσθενείας τῆς λαίλαπος, τὸν λαόν σου λύτρωσαι.

Ὁ Ἱερεύς.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων·ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τοῦ ἁγίου ἐνδόξου ἱερομάρτυρος Χαραλάμπους τοῦ θαυματουργοῦ· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· (τοῦ ἁγίου τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· (τοῦ ἁγίου τῆς ἡμέρας), καὶ πάντων σου τῶν ἁγίων·

Ἱκετεύομέν σε, (μόνε) πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν (τῶν ἁμαρτωλῶν) δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον. (ιβ΄)

Ὁ Ἱερεύς.

Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

## Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Ἐπὶ σοὶ τῷ Κυρίῳ, τῷ ζωὴν χορηγοῦντι, ἡμεῖς ἐλπίζομεν· ἐκ ταύτης ἡμᾶς σῶσον, τῆς λοιμικῆς ἀνάγκης, τῷ ἐλέει σου κράζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητός εἶ.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Θαυμαστὰ καὶ μεγάλα, ὑπὲρ γένους ἀνθρώπων, ὁ ἐργαζόμενος, Φιλάνθρωπε ἐκ λύμης, λοιμοῦ τοῦ ἐνεστῶτος, ἡμᾶς ῥῦσαι τοὺς ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Δόξα.**

Ἐν ὀδύνῃ μεγίστῃ, οἱ λοιμῷ βαρυτάτῳ, ἐπαπειλούμενοι, ἐλέησον βοῶμεν, καὶ σῶσον Ζωοδότα, τὸν λαόν σου κραυγάζοντα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Καὶ νῦν.** Θεοτοκίον.

Λυτρωτὴν τοῖς ἀνθρώποις, ἡ ἀφράστως τεκοῦσα, Παρθένε Ἄχραντε, λοιμοῦ ἐπιδραμόντος, σφοδρῶς τῇ οἰκουμένῃ, τὴν ὁρμὴν ἀναχαίτισον, καὶ δὸς γαλήνην ἡμῖν, χάριτι μητρικῇ σου.

## Ὠιδὴ η΄. Τὸν Βασιλέα.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Οἱ πεποιθότες, ἐπὶ σὲ μόνε Οἰκτῖρμον, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν· ῥῦσαι ἡμᾶς Σῶτερ, ἐκ τοῦ λοιμοῦ τῆς βλάβης.

**Δέσποτα Χριστέ, ἐλέησον τούς δούλους σου.**

Ἀνάστα, σῶσον, τῆς ἐνεστώσης ἀνάγκης, τὸ ἀνθρώπινον· ἐλπὶς γὰρ σὺ εἶ μόνη, τῶν ἐν νόσῳ Σῶτερ, δεινῶς χειμαζομένων.

**Δόξα.**

Τὰς ἁμαρτίας, ἄφες ἡμῖν Ζωοδότα· ἐπικάμφθητι ἡμῶν τῇ ταπεινώσει, καὶ δὸς τῷ λαῷ σου, ἀσφάλειαν ὑγιείας.

**Καὶ νῦν.** Θεοτοκίον.

Ὅρμος γαλήνης, ἐν τρικυμίᾳ τῆς νόσου, τῆς εὐρούσης ἡμᾶς σφόδρα Θεομῆτορ, ἡ χάρις γενέσθω, τῆς θείας σου πρεσβείας.

**Ὠιδὴ θ΄.** Κυρίως Θεοτόκον.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Ἐν τῷ ἐπικαλεῖσθαι, εἰσάκουσον Σῶτερ, τῶν οἰκετῶν σου ἐν θλίψει βοώντων σοι, καὶ ἐξελοῦ ἐκ κινδύνου, ἡμᾶς λοιμώξεως.

**Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.**

Τῆς σῆς φιλανθρωπίας, τὴν ἄβυσσον δεῖξον, καὶ τὰ ἐλέη σου Σῶτερ θαυμάστωσον, ἐξ ἀσθενείας λοιμώδους, ἡμᾶς ῥυόμενος.

**Δόξα.**

Πρεσβείαις Χαραλάμπους, τοῦ Ἱεροάθλου, τῆς λοιμικῆς ἡμᾶς νόσου ἀπάλλαξον, ἵνα δοξάζωμεν Σῶτερ, τὸ θεῖον κράτος σου.

**Καὶ νῦν.** Θεοτοκίον.

Ὑπέραγνε Μαρία, Κεχαριτωμένη, ἡ τῶν ἀνθρώπων ἑτοίμη βοήθεια, τοῖς ἀσθενοῦσι τελείαν, τὴν ῥῶσιν δώρησον.

## Τὸ Μεγαλυνάριον.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

## Καὶ τὰ Μεγαλυνάρια.

Δέσποτα Οἰκτῖρμον ὁ ἰατρὸς, ψυχῶν καὶ σωμάτων, σοῦ δεόμεθα ἐκτενῶς· Ἄνες, ἄφες Σῶτερ, ἡμῶν τὰς ἁμαρτίας, καὶ σῶσον τῆς λοιμώδους, ὀργῆς τοὺς δούλους σου.

Νόσου ἐνεστώσης βροτολοιγοῦς, ὁ φόβος συνέχει, τὰς καρδίας πάντων ἡμῶν· πρόφθασον καὶ σῶσον, ἡμᾶς ἐκλιπαροῦντας, τὸ μέγα ἔλεός σου, Εὔσπλαγχνε Κύριε.

Πρόβατα νομῆς σου πάντες ἡμεῖς, ὑπάρχομεν Σῶτερ, κἂν ἐν πλήθει ἁμαρτιῶν· Μὴ ἐξουδενώσῃς, ἡμῶν τὴν ἱκεσίαν, ἀλλὰ τῆς ἀσθενείας, παῦσον τὸν τάραχον.

Ἀ πὸ τοῦ αἰῶνος ὡς ἀληθῶς, ἕως τοῦ αἰῶνος, τὸ σὸν ἔλεος Ἀγαθέ· αὐτοῦ οὖν τῷ πλήθει, τὸ πλῆθος τῶν ἀνθρώπων, τοῦ ἐπελθόντος ῥῦσαι, λοιμοῦ Φιλάνθρωπε.

Νόσου ἐπωδύνου τῇ ἀπειλῇ, ἡμᾶς τοὺς ἀθλίους, ἐν τῷ θλίψεσθαι χαλεπῶς, καὶ ἀπορουμένους, Κύριε μὴ παρίδῃς, ἀλλ᾽ ἐξελοῦ ταχέως, ἡμᾶς τῆς θλίψεως.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Ὁ Ἀναγνώστης· Τρισάγιον.

Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ')

**Δόξα. Καὶ νῦν.**

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

**Δόξα. Καὶ νῦν.**

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς.

Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ τὰ συνήθη Τροπάρια.

Ἦχος πλ. β'

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

**Δόξα.**

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν, μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καὶ νῦν, ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

**Καὶ νῦν.**

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσαιμεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

## ΕΚΤΕΝΗΣ ΔΕΗΣΙΣ ΥΠΟ ΤΟΥ ΙΕΡΕΩΣ

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορός· Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ὁ χορός· Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν, (…..) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὁ χορός· Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, καὶ πάντων τῶν ἐν ἀσθενείαις, λοιμοῖς καὶ θλίψεσιν εὑρισκομένων ἀδελφῶν ἡμῶν.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν, τὴν πόλιν ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ, λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου, ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλακτον, γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καί διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ᾽ ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον. (γ΄)

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς.

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Ἱερεύς.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· **Κ**ύριε, ἐλέησον.

Ὁ Ἱερεύς.

## *ΤΗΝ ΕΥΧΗΝ ΔΙΑ ΤΟΝ ΚΟΡΩΝΑΪΟΝ*

Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, ὁ προαιώνιος Λόγος τοῦ Πατρός, ὁ δι᾽ ἄκραν φιλανθρωπίαν τὴν ἡμετέραν φύσιν εἰς τὸ εἶναι παραγαγὼν καὶ πεσοῦσαν αὐτὴν πάλιν ἐξαναστήσας καὶ τὸν μονογενῆ σου Υἱὸν ἐξαποστείλας Σωτῆρα καὶ Λυτρωτὴν καὶ εὐεργέτην, ἰατρεύοντα τὰ πάθη τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν˙ ὁ μὴ καταφρονήσας τοὺς ἀνιάτως νοσήσαντας δέκα λεπρούς, ἀλλὰ τῇ σωστικῇ χάριτί σου καθαρίσας αὐ-

τούς· ὁ διελθὼν ὡς Θεάνθρωπος τὰς ἡμέρας τῆς ἐπὶ γῆς παρουσίας σου, εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς ἐν ἀσθενείᾳ ὄντας καὶ κακῶς ἔχοντας· ὁ εὐεργετήσας καὶ ἀποκαταστήσας ὑγιαίνοντας, παραλυτικούς, τυφλούς, βαρέως ἡμαρτηκότας, δαιμονιῶντας καὶ ἐμπαθεῖς κατ᾽ ἄμφω, ἤγουν ἐν τῇ σαρκὶ καὶ τῷ νοΐ.

Αὐτὸς, Δέσποτα μακρόθυμε, ἐπίβλεψον ἐφ᾽ ἡμᾶς καὶ ἐπάκουσον τῆς δεήσεως ἡμῶν. Πρόσδεξαι παντεπήκοε, παντευλόγητε καί παντευεργέτα Κύριε, εὐμενῶς τὴν δέησιν ἡμῶν καὶ φυγάδευσον τῇ δυνάμει σου, τὸν φονευτὴν ἰὸν τὸν σχῆμα κορώνας φέροντα, καὶ προκαλοῦντα φοβίας ἢ καὶ θάνατον εἰς ἀσθενεῖς καὶ ἀναξιοπαθοῦντας, καί διάσωσον τὸν λαὸν σου καὶ πᾶσαν τὴν οἰκουμένην, ἀπό τῆς ἐπελθούσης λοιμοφόρου ἀπειλῆς.

Καὶ εἰ μὲν διὰ τὰς πολλὰς ἁμαρτίας ἡμῶν, ἐπέτρεψας τὸν πειρασμὸν τοῦτον, ἱκετεύομέν σε ὡς ἐλεῆμον, ἵνα ἄρῃς αὐτὸν ἀφ᾽ ἡμῶν καὶ ἀπὸ πάσης τῆς οἰκουμένης, προσδεχόμενος πάντας ἡμᾶς ἐν μετανοίᾳ.

Εἰ δὲ διὰ δοκιμασίαν τῆς πίστεως ᾠκονόμησας τὴν ἐπικράτησιν αὐτοῦ, παῦσον τὸν τάραχον τῶν ἀσθενῶν ἀπὸ τῆς ἐπιδημίας αὐτοῦ. Πολλαὶ γὰρ θλίψεις καὶ ὠδῖναι εὗρον ἡμᾶς καὶ πικρίᾳ πολλῇ συνεχόμεθα, ἀλλὰ μὴ παραδῷς ἡμᾶς εἰς τέλος ὁ τῶν Πατέρων Θεός.

Εἰ δὲ ὑπὸ τῆς κακουργίας τοῦ ἀντικειμένου ἢ καὶ ἀμελείας τῶν ἐπιπολαίων ἀνθρώπων οὗτος διεδόθη, θραῦσον τὴν ἰσχὺν αὐτοῦ ὡς Θεὸς παντοδύναμος.

Δεῖξον ἐφ᾽ ἡμᾶς τὴν ἄβυσσον τῆς εὐσπλαγχνίας σου καὶ εἰσάκουσον, ἡμῶν προσπιπτόντων Σοι ἐν ταπεινώσει, φωνῆς δεήσεως ἡμῶν, ἧς ἐκ βαθέων κράζομεν πρὸς σέ:

- Τὴν νεότητα φύλαξον.
- Τοὺς ἐν γήρατι ὄντας, περιφρούρησον.
- Ἐνίσχυσον τῷ βραχίονί σου τῷ ὑψηλῷ τοὺς ἐν τῇ διακονίᾳ τῆς ὑγιείας τῷ λαῷ σου τεταγμένους.
- Ἀνάστησον ἀπὸ κλίνης ὀδυνηρὰς καὶ στρωμνῆς κακώσεως τοὺς λοιμώξει περιπεσόντας, χαριζόμενος αὐτοῖς ῥῶσιν ταχινὴν καὶ πλήρη τὴν ἴασιν.
- Τὰς ψυχὰς τῶν ἐκ τοῦ λοιμοῦ τὸ ζῆν ἐκμετρησάντων, ἐν σκηναῖς Ἁγίων ἀνάπαυσον˙ τοῖς δὲ οἰκείοις αὐτῶν παράκλησιν δωρούμενος.

Πάντας ἀπάλλαξον ἐκ τῆς συνοχῆς τῆς καρδίας. Πάταξον τῆς λοιμικῆς ἀσθενείας τὴν δύναμιν καὶ ταπείνωσον τὸ φρύαγμα αὐτῆς. Τὴν ὀδύνην καὶ τὴν κατήφειαν αὐτῆς, εἰς χαρὰν καὶ γαλήνην μεταποίησον, τῶν ἀνθρώπων τῷ γένει.

Σὺ γὰρ ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

## ΑΠΟΛΥΣΙΣ

Ὁ Ἱερεύς.

Δόξα σοι, ὁ Θεός, (ἡ ἐλπὶς) ἡμῶν, δόξα σοι.

Χριστὸς ὁ (ἀληθινὸς) Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τοῦ ἁγίου ἐνδόξου ἱερομάρτυρος Χαραλάμπους τοῦ θαυματουργοῦ· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· (τοῦ ἁγίου τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· (τοῦ ἁγίου τῆς ἡμέρας), καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Μεθ᾿ ἣν ψάλλομεν τὰ κάτωθι Τροπάρια.

Ὁ χορός· Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ἔκδεξον ὡς εὔσπλαγχνος ἡμᾶς, τοὺς χειμαζομένους τῷ φόβῳ, τῆς λοιμικῆς ἀπειλῆς· πρόφθασον καὶ ποίησον, κατὰ τὸ ἔλεος, τὸ πολύ σου Φιλάνθρωπε, μετὰ τῶν σῶν δούλων, ταύτην τὴν ἱκέσιον, φωνὴν δεχόμενος· πρόσχες οἰκτιρμῶν σου ἐν πλούτῳ, εἰς τὸ βοηθῆσαι λαῷ σου, ἐπὶ σὲ ἐκ πίστεως ἐλπίζοντι.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ὁ Ἱερεύς.

Δι᾿ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ χορός· Ἀμήν.